UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Ophelio Scholastico. 154.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

σετε δὲ, εἰ ἐκ τῆς τοσαύτης μανίας ἀνενέγκοιτε. ἀνενέγκοιτε δὲ, εἰ τοὺς ἀνενεγκόντας ζηλώσετε. ζηλώσετε δὲ, εἰ ἀρετῆς ἀντιλάβοισθε. ἀντιλάβοισθε δὲ, εἰ βασιλείας ἐρασθείητε. ἐρασθείητε δὲ, εἰ τὰ βλεπόμενα, πρόσκαιρα εἶναι νομίσετε. νομίσετε δὲ, ἐὰν τὴν οὐδένειαν αὐτῶν καταμάθοιτε. μαθήσεσθε δὲ, εἰ τὸ ἐπίκηρον αὐτῶν θεωρήσετε. θεωρήσετε δὲ, ἐὰν ἀδεκάστοις ὀφθαλμοῖς θεάσησθε. θεάσοισθε δὲ, εἰ τῶν οὐρανίων ἀνθέξεσθε. ἀνθέξεσθε δὲ, εἰ τὸν τῆς ψυχῆς ὀφθαλμὸν διορατικώτερον κατασκευάσετε. κατασκευάσοιτε δὲ, εἰ πρὸς τὸ θεῖον συνεχῶς ἀποβλέπειν ἐθίσετε.

Ὠφελίῳ σχολαστικῷ. ρνδ.

Τὸ σαφὲς τῷ σεμνῷ κεκραμένον, οὐκ ἀσαφὲς τῷ ἀκροωμένῳ, τὸ λεγόμενον, κατασκευάζει.

Θεογνώστῳ πρεσβυτέρῳ. ρνε.

Ὁ ἀοίδιμος, καὶ πάσης εὐφημίας ἄξιος Τιμόθεος ὁ ἀναγνώστης, οὕτως ὀρθῶς ἐβίωσεν, ὡς μηδένα δυνηθῆναι εἰπεῖν, ὅτι ἐθαυμάζετο μὲν, οὐκ ἠγαπᾶτο δέ. τὸ μὲν γὰρ τῷ τῆς ἀρετῆς ἐρᾶν. τὸ δὲ τῷ τὰ φορτικώτερα φεύγειν, ἐξ ἴσης ἐκαρποῦτο, ὅς γε καὶ διὰ τὸ τῆς γνώμης κόσμιον, τῶν μὲν ἡλικιωτῶν πρεσβύτερος, τῶν δὲ πρεσβυτέρων ἡλικιώτης ἐδόκει. τοὺς μὲν νουθετεῖν, οἷός τε ὢν, τοὺς δὲ οὐδὲν ἐνδιδοὺς ἐφ᾽ ὅτῳ διορθώσονται.

Ἡσυχίῳ λαμπροτάτῳ. ρνϛ.

Οἰκίαν μὲν διαφανῆ, καὶ θαύματος κρείττονα φασί σε κατεσκευακέναι, τῆς δὲ ψυχῆς ἠμεληκέναι, ὥσπερ τινὸς φαυλοτάτου καὶ οὐδαμινοῦ. ἴσθι τοίνυν μὴ καλῶς βουλευόμενος, ἡ μὲν γὰρ οἰκία τῆς σῆς πλεονεξίας, καὶ ἐν τοῖς μετ᾽ ἔπειτα χρόνοις κῆρυξ καὶ σιωπῶσα γενήσεται. ἡ δὲ ψυχὴ τὰς φοβερὰς ὑποστήσεται τιμωρίας.

getis aurem, si eos, qui emerserunt, imitemini. Imitabimini autem, si virtutem arripueritis. Arripietis autem, si cælestis regni amore teneamini. Tenebimini autem, si ea quæ oculis cernuntur, caduca & tandem interitura esse existimaueritis. Existimabitis autem, si quàm nihil sint didiceritis. Discetis autem, si eorum fragilitatem animo perspexeritis. Perspicietis autem, si incorruptis oculis ea contemplemini. Contemplabimini autem, si cælestia arctè complectamini. Complectemini autem, si animæ oculũ perspicaciorem reddideritis. Reddetis autẽ, si eum ad diuinũ numẽ contuendum perpetuò assuefeceritis.

*Ophelio Scholastico.* 154.

Perspicuitas cum grauitate coniuncta, obscuritatem, vt est in prouerbio, auditoribus non parit.

*Theognosto Presbytero.* 155.

Celebris ille, atque omni laude dignus, Timotheus Lector, adeò rectè vixit, vt nemo sit qui dicere possit, eum admirationi quidem, at non amori fuisse. Illud enim ex virtutis amore ac studio, hoc autem ex eo quod res eas, quæ inuidiam afferebant, fugeret, peræquè consequebatur: quippe qui etiã, ob animi moderationẽ & honestatem & æqualibus suis antiquior, & seniorum æqualis esse videretur: quòd videlicet, & illos monere posset, & his nullam corrigendi sui ansam porrigeret.

*Hesychio clarissimo.* 156.

Te quidem splendidam domum, atque omni admiratione sublimiorem, extruxisse aiunt: at interim animam, tanquam vilissimum aliquod ac nullius omnino pretij, neglexisse. Hæc igitur scito, te haud probum cõsilium inire. Nam domus quidem tua in posterum quoque auaritiam tuam etiam tacens prædicabit: at anima horridos cruciatus sustinebit.